*ἄλαστα ματρὶ τᾷδε Λα-*
*ίῳ τε τῷ παλαιγενεῖ,*
*γάμων ἐπακτὸν ἄταν.*
*ἐγὼ δ' οὔτε σοι πυρὸς ἀνῆψα φῶς*
*νόμιμον ἐν γάμοις,*
*ὡς πρέπει ματέρι μακαρίᾳ·*
*ἀνυμέναια δ' Ἰσμηνὸς ἐκηδεύθη*
*λουτροφόρου χλιδᾶς· ἀνὰ δὲ Θηβαίαν*
*πόλιν ἐσιγάθη σᾶς ἔσοδοι νύμφας.*
*ὄλοιτο, τάδ' εἴτε σίδαρος*
*εἴτ' ἔρις εἴτε πατὴρ ὁ σὸς αἴτιος,*
*εἴτε τὸ δαιμόνιον κατεκώμασε*
*δώμασιν Οἰδιπόδα·*
*πρὸς ἐμὲ γὰρ κακῶν ἔμολε τῶνδ' ἄχη.*
ΧΟ. *δεινὸν γυναιξὶν αἱ δι' ὠδίνων γοναί,*
*καὶ φιλότεκνόν πως πᾶν γυναικεῖον γένος.*
ΠΟ. *μῆτερ, φρονῶν εὖ κοὐ φρονῶν ἀφικόμην*
*ἐχθροὺς ἐς ἄνδρας· ἀλλ' ἀναγκαίως ἔχει*
*πατρίδος ἐρᾶν ἅπαντας· ὃς δ' ἄλλως λέγει,*
*λόγοισι χαίρει, τὸν δὲ νοῦν ἐκεῖσ' ἔχει.*
*οὕτω δὲ τάρβους εἰς φόβον τ' ἀφικόμην,*
*μή τις δόλος με πρὸς κασιγνήτου κτάνῃ,*
*ὥστε ξιφήρη χεῖρ' ἔχων δι' ἄστεος*
*κυκλῶν πρόσωπον ἦλθον. ἓν δέ μ' ὠφελεῖ,*
*σπονδαί τε καὶ σὴ πίστις, ἥ μ' εἰσήγαγε*
*τείχη πατρῷα· πολύδακρυς δ' ἀφικόμην,*
*χρόνιος ἰδὼν μέλαθρα καὶ βωμοὺς θεῶν*
*γυμνάσιά θ' οἷσιν ἐνετράφην Δίρκης θ' ὕδωρ·*
*ὧν οὐ δικαίως ἀπελαθεὶς ξένην πόλιν*
*ναίω, δι' ὄσσων ὄμμ' ἔχων δακρυρροοῦν.*
*ἀλλ' ἐκ γαρ ἄλγους ἄλγος αὖ σὲ δέρκομαι*

---

341. *τᾷδε*] Valckenaerius, *τάδε* libri. 343. *ἐπακτόν* Ab *ἐπακτάν*, *ἐπακτήν* ceteri. 346. *ματέρι* B $\overline{\textit{μρι}}$, *ματρί* ceteri. 349. *ἐσιγάθη*] v. l. *ἐσιγάθησαν.* *εἴσοδοι* A *εἴσοδον* (ς superscr.) B *εἴσοδον* b *εἴσοδος* ceteri. 368. *ἐτράφην* C 370. *αἷμ' ἔχων* C.